σοιπερ ἐκ τῶν οἰκείων ἀρχῶν τὴν περὶ τούτων σκέψιν παρέλαβον. ἰστέον ὅτι τὰ σημεῖα πολλοῖς ὀνόμασι προσαγορεύονται, κατὰ τὸν διάφορον τῆς θεωρίας λόγον. ὁρίζοντα γὰρ τὸ συνεχὲς πέρατα λέγονται, ἁφαὶ δὲ, ὡς συνάπτοντα τὰ μεγέθη, καὶ ποιοῦντα τὴν σύνθεσιν, διαιρέσεις δὲ, ὅτι καθ' αὐτὰ ἡ τομὴ γίνεται, σημεῖα δὲ, ὅτι οὐχ ὑπάρχουσι καθ' ἑαυτὰ, ἀλλ' ἐν τῷ συνεχεῖ, καὶ διὰ τοῦτο οὔτε ληπτά εἰσι καθ' ἑαυτὰ, ἀλλ' ὡς ἕτερόν τι σημαίνοντα, ἀμερῆ δὲ καὶ ἄτομα, ὅτι τούτων οὐθὲν ἐστι μέρος.

## Ἐπεισόδιος θεωρία περὶ τῶν ἐν Φιλοσοφίᾳ Αἱρέσεων, καὶ τῆς παρ' ἀρχαίοις ποικιλίας τῶν δογμάτων.

ΕΙ καὶ σμικρὸν ἀποπλανησόμεθα τῆς προκειμένης μελέτης, ἀλλ' ὅμως πλείστην ὑμῖν ὠφέλειαν ὑπισχνοῦμαι, εἰ μετ' ἀκριβείας ἐπισκοπήσωμεν περὶ τῶν ἀρεσκόντων τοῖς πάλαι Φιλοσόφοις. τοῦτο γὰρ αὐτὸ ἐδίδαξεν ἡμᾶς ὁ Σταγειρίτης ἑκασταχοῦ προτιθέμενος τὰς τῶν ἀρχαίων δόξας, καὶ τὰς περὶ τούτων ἀπορίας ἀποδείξεις εἶναι παρεγγυῶν τῶν ῥηθησομένων. ἵνα δὲ καθ' ὁδὸν ἡμῖν ἡ πραγματεία χωρήσῃ ἀποστρέφουσα τὴν ἀχλὺν τοῦ λόγου, φέρε δὴ πρῶτον εἴπωμεν περὶ αἱρέσεων, ὁποῖαι τινὲς ἑαυταῖς προσηγορίαν ἐπίσημον περιέβαλον. καὶ γὰρ τοῖς ἀναγινώσκουσι τὸν Φιλόσοφον ἔστι μὲν ἰδεῖν μεγίστην τινὰ διαφορὰν καὶ ὁμοιότητα τῶν εἰρημένων τοῖς πάλαι. ταύτας δὲ διακρῖναι μετ' ἀκριβείας οὐ ῥᾴδιον ἐστὶ τοῖς ἀγνοοῦσι τὰς τῶν Φιλοσόφων αἱρέσεις, ἃς ὁ Σταγειρίτης ἢ τοῖς Ἱστορικοῖς ἐπιτρέψατο, ἢ παρέλιπεν ὡς πάντη τοῦ φανερὰς οὔσας. δύω τοιγαροῦν ἦσαν ἐξαρχῆς Φιλοσόφων αἱρέσεις ἐπίσημον ἔχουσαι τὴν ὀνομασίαν, ἐπί τε τοῖς δόγμασι, καὶ ὅτι ἐξ αὐτῶν ἀνεβλάστησαν ὅσαι τινὲς εἰσέπειτα ἔρωτι Φιλοσοφίας πολλοὺς ἁπανταχόθεν ἐπέσπων εἰς τὰ μαθήματα. τούτων δὲ ἡ μὲν Ἰωνικὴ, ἡ δὲ Ἰταλικὴ ἐλέγετο, ἐκ τῶν τόπων ἀμφότεραι ἐν οἷς ἤκμασαν λαβοῦσαι τὴν προσηγορίαν. τὴν δέ φησιν Ἐλεατικὴν ὁ Κλήμης ἐν τῷ πρώτῳ τῶν στρωματέων μετὰ πολλῶν ἄλλων ἐγὼ τῇ ἐξ Ἰταλίας αἱρέσει προστίθημι, τῆς δὲ τῆς Ἰωνικῆς αἱρέσεως ἔξαρχος Θαλῆς ὁ Μιλήσιος ὁ τοῖς ἑπτὰ σοφοῖς συναριθμούμενος, οὗ διάδοχος ἦν Ἀναξίμανδρος, καὶ τούτου Ἀναξιμένης, οὗ ἤκουσεν Ἀναξαγόρας, ὁ τοῦ Ἀρχελάου διδάσκαλος. ὃς εἰς Ἀθήνας πρῶτος φιλοσοφίαν εἰσήγαγεν ἀπάρας ἐξ Ἰωνίας, κἀκεῖ τὸν Σωκράτην παιδεύσας τὴν Φιλοσοφίαν τῆς τῶν Ἀθηναίων σοφίας πατὴρ ὠνομάσθη, ὁ δὲ Σωκράτης τὸ φυσιολογεῖν ἀφεὶς, καὶ παραλιπὼν ὡς περιττὴν, καὶ ἀβέβαιον τὴν τῆς φύσεως ἔρευναν, πρῶτος εἰς ἠθῶν ἐτράπη διακόσμησιν, καὶ τῆς πρὸς τὸν βίον

Φι-

ΙΩΑΝΝΙΝΑ 2006

Φιλοσοφίας ἐπεμελήσατο· ὅθεν οἶμαι καὶ τὰς πολλὰς αἱρέσεις ἀναφανῆναι, ἀμοιρησάντων στρατηγοῦ τῶν Φιλοσόφων, καὶ διαβαίνοντος ἑκάστου ὁδὸν ἑτέραν ἐν τῇ τῆς ἀληθείας εὑρέσει· ὥς που καὶ τεθνεῶτος Ἀλεξάνδρου τοῦ πάνυ, οἱ περὶ αὐτὸν ἅπαντες οἰκείαν κατεστήσαντο βασιλείαν, τὴν κοινὴν διασπάσαντες, καὶ κατακερματίσαντες εἰς πολλὰς ἀρχάς, καὶ Σωκράτους τοιγαροῦν τὸ χαίρειν ταῖς ἐπιστήμαις εἰπόντος, ἕκαστος τῶν περὶ αὐτὸν πλῆθος Ἀκροατῶν ἀποσπασάμενος, ἰδίᾳ φιλοσοφεῖν ἐπεχείρει τοῖς λοιποῖς διαφερόμενος, ἵνα μὴ τῇ κοινωνίᾳ εἰς ἓν πάλιν ἡ ἀρχὴ καὶ τὸ κράτος συῤῥῇ. ἦσαν δὲ τῆς τοῦ Σωκράτους διδασκαλίας Ἀκροαταὶ ἐν πρώτοις ἄριστοι Ἀντισθένης ὁ τῆς Κυνικῆς αἱρέσεως εἰσηγητής, Ἀρίστιππος ὁ τῆς Κυρηναϊκῆς, Πλάτων ὁ τῆς Ἀκαδημαϊκῆς, ὁ δὲ Ξενοφῶν στρατιωτικὸς ὢν ἀνὴρ ἱστορίαν καὶ πολιτείαν μᾶλλον, ἢ Φιλοσοφίαν ἐπετήδευσεν. ἵνα δὲ παραλίπω τὰς ἄλλας ὡς μικρὰ πάνυ συμβαλλούσας τῇ Φιλοσόφῳ θεωρίᾳ, ἰστέον ὅτι ἐν τοῖς τοῦ Πλάτωνος χρόνοις τέσσαρες ἤκμαζον Φιλοσόφων αἱρέσεις, λόγων δεινότητι, καὶ Ἀκροατῶν πλήθει τὴν πρώτην ὑπερτερῆσαι, ἡ τοῦ Πλάτωνος ἀκαδημαϊκή, ἡ τοῦ Ἀριστοτέλους περιπατητική, ἡ τοῦ Ζήνωνος στοϊκή, καὶ ἡ Ἐπικούρειος. τῆς μὲν ἀκαδημίας ὀνομασθείσης ἀπὸ τοῦ τόπου ἔξαρχος ἦν ὁ θεῖος Πλάτων, ᾧ ἄλλων τε πολλῶν ἕνεκα καὶ τῆς τοῦ Ἀριστοτέλους διδασκαλίας χάριτας ὁμολογητέον. τούτου διάδοχος ἐγένετο Σπεύσιππος, ὁ ἀδελφιδοῦς αὐτοῦ, καὶ ἑξῆς ἔλαμψαν ἐν ἀκαδημίᾳ, Ξενοκράτης, Πολέμων, Κράντωρ, καὶ Κράτης, οἱ τῆς παλαιᾶς ἀκαδημίας λέγονται τὰ νῦν. ἦν γὰρ καὶ ἑτέρα μέση προσαγορευομένη, ἧς ἀρχηγός ἐστι κατὰ Λαέρτιον Ἀρκεσίλας, ὡς Ὁλκύδης τῆς νέας, ἐν δὲ τῇ Εὐαγγελικῇ προπαρασκευῇ ὁ Εὐσέβιος κεφαλαίῳ δευτέρῳ τοῦ ιδ΄. βιβλίου μάρτυρα Νεμμένον τινα πυθαγόρειον παράγων, τὸν Καρνεάδην καθίστησι τρίτης ἀκαδημίας ἀρχηγόν, καί τοι παρὰ τοῖς πάλαι οὐκ ἂν εὕροιτις ἑτέραν τῆς παλαιᾶς καὶ νέας ἀκαδημίαν, εἰ καὶ τοῦ Ἀρκεσίλα διενεχθῆναι Καρνεάδην οὐκ ἀμφισβητοῦμεν, ἡ γὰρ διαφορὰ πᾶσα εἰς διαίρεσιν, καὶ κρίσιν αἱρέσεως ἀπόκει. ὁ γὰρ Ἀρκεσίλας τέτταρά τινα ἐτίθετο, μηδὲν εἶναι ληπτόν, καὶ μηδενὶ πεισθῆναι ποτὲ τὸν σοφόν, ἐξ ἴσου τε πάντα ἀβέβαια, καὶ ἀφανῆ, καὶ ἀπίθανα, καὶ ἀκατάληπτα, καὶ μόνον περὶ τούτων δόξαν οἷόν τε ἔχειν τὸν Φιλόσοφον. ὁ δὲ Καρνεάδης ἀπεδέχετο μὲν τὸ μηδὲν εἶναι ληπτόν, καὶ τὸ μηδενὶ συμφάσκειν ὡς ἀληθεῖ τὸν Φιλόσοφον, ὅμως ἐτίθετο μεταξὺ τοῦ ἀβεβαίου, καὶ ἀκαταλήπτου τὸ πιθανόν, ὃ δὴ καὶ ὡς ὅμοιον τῷ ἀληθεῖ, εἰδέναι τε τὸν σοφὸν παρεκέλευε, καὶ προσβάλλειν, καὶ εἰσηγεῖσθαι, εἴτε ἐν λόγοις, εἴτε ἐν πράξεσι, καίτοι μὴ ὡς ἐπιστήμην ἔχοντι τούτου, ἀλλ᾽ ὡς δόξαν τῇ τῆς ἀληθείας ὁμοιότητι πεπεισμένον ἐν τῇ τοῦ ἀληθοῦς ἐλλείψει. τοιγαροῦν



ΙΩΑΝΝΙΝΑ 2006

ἔμοιγε καλῶς δοκεῖ τὴν τοῦ Καρνεάδου διδασκαλίαν μέσην τοῖς ἐῶσαν τῆς τε παλαιᾶς ἀκαδημίας, καὶ τῆς τοῦ Ἀρκεσίλα δόξης, καὶ τὴν ἀπ' ἐκείνου αἵρεσιν μεταξὺ τοῖν δυοῖν τούτοιν παρατίθεσθαι. εἰ μὴ τυχὸν ὁ Λαέρτιος εἰς τοὺς χρόνους ἐπιβλέψας μέσην ἐκάλει τὴν τοῦ Ἀρκεσίλα Ἀκαδημίαν, ὡς αὐτὴν μεταξὺ ἀνθήσασαν χρόνῳ, πρότερον μὲν τοῦ Λακύδου καὶ Καρνεάδου, ὕστερον δὲ τῶν πάλαι Ἀκαδημαικῶν, τοσοῦτον δὲ πολλοῖς τῶν Ῥωμαίων ἤρεσκεν ἡ τοῦ Καρνεάδου δόξα, ὥστε ἀληθῶς φιλοσοφεῖν ᾠήθησαν τοὺς ἐκ ταύτης ὑπολήψεως ὁρμήσαντας. τῆς δὲ περιπατητικῆς αἱρέσεως ἄρχων μὲν ἦν ὁ ἐκ Σταγείρων Ἀριστοτέλης, ὅς τις Σωκράτους, καὶ Πλάτωνος ἀκροατὴς ὤν, φιλίᾳ δὲ τῆς ἀληθείας τῆς ἐκείνων αἱρέσεως ἀφέστηκε, καὶ μόνος ἐκ τῶν αἰσθητῶν, καὶ φανερῶν ἐτόλμησε θηρεῦσαι τὰ ἀφανῆ, καὶ πόῤῥω κείμενα τῆς ἀνθρωπίνης γνώσεως, ἐδίδασκε δὲ χρόνους πολλοὺς ἐν τῷ Λυκείῳ, καὶ οἱ τούτου φοιτηταὶ περιπατητικοὶ ὠνομάζοντο, ὅτι περιπατοῦντος ἠκροῶντο τοῦ διδασκάλου. ὧν ἄριστος ἦν ὁ Θεόφραστος, ὁ καὶ τὴν σχολὴν διαδεξάμενος, καὶ διασπείρας ἁπανταχοῦ τὰ τοῦ Ἀριστοτέλους δόγματα, τοῦ δὲ Θεοφράστου ἀκροατὴς ἐγένετο Εὔδημος, ὃν ἐπαινεῖ Σιμπλίκιος ἐν τῷ πρώτῳ τῶν Φυσικῶν, μορίῳ λ'. καὶ ἑβδόμῳ, μορίῳ να'. ὅτι ἀπαρασαλεύτως εἵπετο τοῖς Ἀριστοτελικοῖς ἴχνεσιν, ἅμα δὲ καὶ Στράτων ὁ Λαμψακηνὸς Θεοφράστου ἤκουσεν, ὃς εἰ καὶ Φυσικὸς ὠνομάσθη, ὅμως οὐ γνησίως ἐν τοῖς Ἀριστοτέλους ἐφιλοσοφήσατο δόγμασι, πολλ' ἄττα παρεξηγήσας, καὶ τῆς οἰκείας αὐτῶν ἐννοίας ἀπαλλοτριώσας. ἤκμασαν δὲ ἐν τῷ περιπάτῳ καὶ ἄλλοι συχνοί, ἐν οἷς ἀριθμοῦνται, Λύκων, Κριτόλαος, Διόδωρος, Δημήτριος ὁ Φαληρεύς, Δικαίαρχος, Ἱερώνυμος, Κράτιππος, καὶ Κλέαρχος. ἐν δὲ τοῖς ἔπειτα χρόνοις, εἴτε νωθρότητι γενεᾶς ἀνθρώπων ἀμελούντων τῶν βελτιόνων, εἴτε κακώσει τοῦ χρόνου τοῦ δαμάζοντος πάντα, ἡ τοῦ Ἀριστοτέλους βιβλιοθήκη ἀπεσκέδαστος ἦν, ἢ ὥς φασί τινες φόβῳ τῶν Ἀτταλικῶν βασιλέων τὰ ἁπανταχοῦ βιβλία ζητούντων, εἰς κατασκευὴν τῆς ἐν Περγάμῳ βιβλιοθήκης, οἱ ἐν Σκήψει ὑπὸ τοῦ Νειλέως λαβόντες τὰ τοῦ Ἀριστοτέλους συγγράμματα κατὰ γῆς ἔκρυψαν ἐν διώρυγί τινι. ὅθεν ὀψέποτε ἐκδοθέντα Ῥωμαίων εὐεργεσίᾳ πάλιν ἀνέλαμψαν, καὶ πολλοὺς ἔσχον ἀναγνώστας, ὧν ἁπάντων ὑπερτερεῖ ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος, ὅς τις καὶ τὰ τῆς γραφῆς ἁμαρτήματα διορθώσας, καὶ πολλοῖς βιβλίοις ἀντιβάλλων τὰ γραφόμενα, ὑπομνήμασί τε μεθερμηνεύσατο, καὶ τοσαύτην ἐν τούτῳ σπουδὴν ἔθετο, ὥστε μηδένα Περιπατητικὸν ἀληθῶς εἶναι καὶ νομίζεσθαι, ὃς μὴ τὰ Ἀριστοτέλους ἐννοεῖ κατ' Ἀλέξανδρον. οἱ γὰρ λοιποὶ ὅσοι τὰ τοῦ Ἀριστοτέλους ἑρμηνεύειν ἐπεχείρουν, Πλατωνικαῖς ὑπολήψεσι τὰ τοῦ νοὸς αὐτῶν ὄμματα συνθολώσαντες, οὐ γνησίως ἑωράκασι τὰς τοῦ Φιλοσόφου ἐννοίας,

νοίας,

νοίας, οἷον Πορφύριος, Ἀμμώνιος, Φιλόπονος, Σιμπλίκιος, Θεμίστιος, περὶ ὧν οὐκ οἶδα πότερον ἀριστοτελίζειν εἴποιμεν ἐν τοῖς τοῦ Πλάτωνος, ἢ πλατωνίζειν ἐν τοῖς τοῦ Ἀριστοτέλους συγγράμμασιν, ἢ τάχα Πλατωνικῆς ὄντες αἱρέσεως, καὶ μὴ δυνάμενοι τῆς Ἀριστοτελικῆς ὀλιγωρῆσαι, ὡς ὑπερφερούσης πολλῷ τῷ διαλείμματι, συναρμόσαι ταύτας εἵλοντο, οἰηθέντες μὴ πάνυ διαφωνεῖν τοῦ διδασκάλου Πλάτωνος τὸν μαθητὴν Ἀριστοτέλην, ἀλλὰ πλέκοντες ἀσύγκλωστα ἐξηλέγχθησαν τοῖς εἰσέπειτα ἀναγνώσταις τοῦ Ἀφροδισιέως. πολλοὶ δὲ καὶ ἄλλοι τῆς Ἀριστοτελικῆς Φιλοσοφίας ἀναγνῶσται ὑπῆρξαν. ἀλλ᾽ ἐν Ἄραψι μὲν ἔχει τὰ πρῶτα Ἀβεῤῥόης, ἐν δὲ Λατίνοις Περιπατητικοὶ μὲν ἅπαντες ὀνομάζονται, καί τοι μὴ περιπατητικῶς φιλοσοφοῦντες, ἀλλὰ τὰς ἑτερογενεῖς καὶ ἀλλοφύλους ἕξεις συγχέοντες, καὶ κυκεῶνα φιλοσοφοθεολογίας συῤῥηγνύντες, τοῦ τε φιλοσοφεῖν ἀληθῶς, καὶ φρονεῖν ὀρθῶς ἀφήμαρτον, τοῦ μὲν εὐσεβοῦς φρονήματος ἐξωκέλλοντες, ἵνα μὴ τοῖς κάπω που Φιλοσόφου λόγοις ἀσύμφωνα λέγωσι, τοῦ δὲ Ἀριστοτέλους ἀποπλανῶνται συνᾴδειν ἐκβιαζόμενοι τοῖς πατράσι. τῆς δὲ Στωϊκῆς αἱρέσεως ἄρχων ἦν Ζήνων ὁ Κυττικὸς Κράτητος τοῦ Θηβαίου ἀκροατὴς γενόμενος, καὶ Ξενοκράτους, καὶ Πολέμωνος, δύω δὲ ἐπὶ τοῖς εἴκοσιν ἔτη προΐστατο τῆς στοᾶς, διαδόχους πολλοὺς τῆς αὐτοῦ καταλιπὼν αἱρέσεως, Κλεάνθην, Χρύσιππον, Διογένην τὸν Βαβυλώνιον, Ἀντίπατρον, Παναίτιον, Ποσειδώνιον, καὶ ἄλλους τινάς, ἐν οἷς ἔχουσι τὰ πρῶτα Σενέκας τε, καὶ Ἐπίκτητος, οὗ τὸ ἐγχειρίδιον ἐπαινεῖται σοφοῖς. σύγχρονος ἦν τῷ Ζήνωνι ὁ Ἐπίκουρος, ἀφ᾽ οὗ ἡ Ἐπικούριος αἵρεσις τὴν ἐπίκλησιν ἔλαβεν, ἐν μὲν τοῖς φυσικοῖς τῇ τοῦ Δημοκρίτου θέσει παρακολουθήσας, ἐν δὲ τῇ περὶ ἀγαθοῦ δόξῃ Ἀριστίππου, καὶ Εὐδόξου μικρὰ διενεγκών, τῆς δὲ αἱρέσεως τούτου Μητρόδωρος ἦν, καὶ Ἕρμαχος, καὶ Ζήνων, ὃν ὁ Φίλων κορυφαῖον ὀνομάζει τῶν Ἐπικουρείων. τούτοις συναριθμείσθω Λουκρήτιος ὁ Ῥωμαῖος τῶν εὐπατριδῶν, ἔπεσιν ἐκφράσας τὴν τοῦ Ἐπικούρου φυσιολογίαν. καὶ αὗται μὲν εἰσιν αἱ τῆς Ἰωνικῆς αἱρέσεως ἀναβλαστήσεις. τῆς δὲ Ἰταλικῆς τῶν Φιλοσόφων φατρίας ἄρχων ἦν Πυθαγόρας, ἐπὶ βασιλέως Ταρκυνίου τοῦ σουπέρβου, φιλοσοφήσας ἐν Καλαβρίᾳ τῆς Ἰταλίας, ἐν ᾗ πολὺν εἰσέπειτα χρόνον ἡ Πυθαγόρειος ἤκμασε Φιλοσοφία τοσοῦτον ὄνομα τοῖς ἐπαγγελλομένοις προξενοῦσα, ὥστε μήτε δοκεῖν Φιλοσόφους τοὺς οὐστινασοῦν ἄλλους. ἐν τοσούτῳ δὲ λόγῳ πάντες τὴν τοῦ Πυθαγόρου διδασκαλίαν ἐποίουν, ὥστε τῶν ἀμφισβητουμένων ἀποχρῶσα λύσις ἐνομίζετο, τό, αὐτὸς ἔφα. ἦν δὲ Πυθαγόρου διδάσκαλος Φερεκύδης ὁ Σύρος, ὅστις πρῶτος ὡς ὁ Ἀριστοτέλης μαρτυρεῖ ιδʹ. μεταφυσικῶν, κεφαλαίῳ ἕκτῳ, τοὺς μύθους παραλιπὼν ἀκριβῶς ἤρξατο Φιλοσοφίαν ἐπιτηδεύειν. ἦσαν δὲ τῆς Ἰταλικῆς αἱρέσεως τῶν ἄλλων ὑπερτε-

ρῶν-

ρῶντες Θεανὼ ἡ σύμβιος, καὶ Θηλαυγὴς ὁ υἱὸς Πυθαγόρου, Ἐμπεδοκλῆς, Ἐπίχαρμος, Ἀρχύτας ὁ Ταραντῖνος, Ἀλκμαίων ὁ Κροτωνιάτης, ὃς καὶ Πυθαγόρᾳ γεγηρακότι συνωμιλήσατο, καθάπερ λέγεται ἐν τῷ κ'. τῶν Μεταφυσικῶν κεφαλαίῳ τρίτῳ. Ἵππασος ὁ Μεταποντῖνος, καὶ Φιλόλαος. ἐν δὲ τῇ Ἐλεατικῇ αἱρέσει, ἧς ἄρχων ἦν Θηλαυγὴς ὁ τοῦ Πυθαγόρου, ἀριθμοῦνται Ξενοφάνης, Παρμενίδης, Μέλισσος, Ζήνων ὁ Ἐλεάτης, Λεύκιππος, καὶ Δημόκριτος, ὧν σύγχρονοι ἐγένοντο Ἡράκλειτος, καὶ ὁ τῶν Ἰατρῶν Καθηγητὴς Ἱπποκράτης ὁ Κῷος. καὶ ταῦτα μὲν ἐν βραχεῖ εἰρήσθω περὶ τῶν αἱρέσεων, τοῦτο μόνον προστιθεῖσιν, ὅτι καὶ πρὸ τῶν Ἑλλήνων ἄλλοι τινὲς τῶν Βαρβάρων ἤκμασαν ἐπὶ Φιλοσοφίᾳ, οἷον Ἄτλας ὁ Φρύξ, Ζωροάστρος ὁ Πέρσης, Βαβυλώνιοί τε πολλοὶ καὶ Πέρσαι, καὶ Ἰνδοί, καὶ Ἑβραῖοι. καὶ γὰρ παρὰ μὲν Αἰγυπτίοις οἱ Ἱερεῖς, παρὰ δὲ Βαβυλωνίοις οἱ Χαλδαῖοι, παρὰ δὲ Πέρσαις οἱ Μάγοι, παρὰ δὲ Ἰνδοῖς οἱ Γυμνοσοφισταί, καὶ παρ' Ἑβραίοις οἱ Προφῆται Φιλοσοφίας ἕνεκα ἐθαυμάζοντο. ὁποῖοι δ' αὖ τινες πρῶτον ἐπεμελήσαντο Φιλοσοφίας, καίτοι μὴ ῥᾴδιον συνιδεῖν, ἀλλ' ὅμως ὁ μὲν Διόδωρος ὁ Σικελιώτης βιβλίῳ πρώτῳ κεφαλαίῳ πρώτῳ τοῖς Ἕλλησιν ἀπονέμει Φιλοσοφίας εὕρεσιν. ὁ δὲ Ἰώσηππος ἐν τοῖς κατὰ Ἀπίωνος βιβλίοις, καὶ Ἰουστῖνος ὁ Μάρτυς ἐν τῷ παραινετικῷ πρὸς Ἕλληνας, καὶ Κλήμης ὁ Στρωματεὺς ἐν τῷ πρώτῳ τῶν Στρωμάτων, καὶ Εὐσέβιος ἐννάτῳ καὶ δεκάτῳ περὶ τῆς Εὐαγγελικῆς προπαρασκευῆς, καὶ Κύριλλος ἐν τῷ κατὰ Ἰουλιανοῦ πρώτῳ παρ' Ἑβραίων τὴν Φιλοσοφίαν μυηθῆναι διϊσχυρίζονται. νῦν δὲ ὅπως ἂν ᾖ φανερὸν καθ' ὃν χρόνον ἕκαστος τῶν Φιλοσόφων ἤκμασε, καὶ τίνα δόξαν ἔσχεν ἐν τοῖς Φυσικοῖς μάλιστα, οὐκ ἀπὸ σκοποῦ δοκεῖ σκέψασθαι τίσι χρόνοις Ἑβραίων, καὶ Ῥωμαίων, αἱ παρ' Ἕλλησιν Ὀλυμπιάδες συμπίπτουσιν, οὕτως οὖν ὅμως, ὥστε μὴ διὰ ἀπεραντολογίαν πόῤῥω πη διαδραμεῖν τῆς προκειμένης ὑποθέσεως. δεῖ οὖν εἰδέναι, ὅτι Ὀλυμπιάσιν ὁ χρόνος ἐμετρεῖτο παρ' Ἕλλησιν. εἴρηται δὲ Ὀλυμπιὰς ἡ πενταετηρὶς ἀπὸ τῶν Ὀλυμπιακῶν ἀγώνων, Διῒ τῷ Ὀλυμπίῳ, ἐν Ἤλιδι συνδρομῇ τῶν ἁπανταχοῦ Ἑλλήνων ἀνὰ πέμπτον ἔτος συγκροτουμένων. ὁ γὰρ μεταξὺ χρόνος ἀπὸ τῆς ἀρχῆς τῶν Ὀλυμπιακῶν ἀγώνων, ἄχρι τῆς ἀρχῆς τῶν ἐλευσομένων ἑξῆς τεττάρων ἐτῶν, Ὀλυμπιὰς ὠνομάζετο. ἦν δὲ τοσοῦτον σαφὴς ἡ κατὰ τὰς Ὀλυμπιάδας χρονολογία παρά τε Ἕλλησι καὶ Βαρβάροις, εἰς οὓς ἡ τῶν Ὀλυμπιακῶν ἀγώνων ἀφικνεῖτο φήμη, ὥστε τοὺς Ἱστοριογράφους σχεδὸν ἅπαντας τοὺς χρόνους τῶν γενομένων διαστεῖλαι ταῖς Ὀλυμπιάσι, καίπερ οὐχ ἅμα τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν ἤρξατο ἡ τῶν Ὀλυμπιάδων ἀρίθμησις. τοὺς μὲν γὰρ ἴσασι γενομένους πρὸ τοῦ Τρωϊκοῦ πολέμου, ὅσοι μὴ πάμπαν εἰσὶ τῆς ἀρχαιότητος ἀθέατοι. ἀρχὴ δὲ τῶν Ὀλυμπιάδων ἐγένετο



Ε.Υ.Α.Π. ΙΩΑΝΝΙΝΑ 2006

τετρακοσιοστῷ σχεδὸν ἔτει μετὰ τὴν ἅλωσιν τῆς Τροίας. τίς δὲ ἄρα ἐγέ-
νετο τῶν Ὀλυμπιακῶν ἀγώνων εἰσηγητὴς, καὶ τίνος ἕνεκα, τοῖς βουλομέ-
νοις ἐστὶν ἰδεῖν παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ, βιβλίῳ πέμπτῳ, κεφα-
λαίῳ δευτέρῳ καὶ τετάρτῳ, Κλήμεντι τῷ Ἀλεξανδρείας πρώτῳ στρωμά-
των, Στράβωνι ὀγδόῳ βιβλίῳ, Παυσανίᾳ ἐν τοῖς Ἠλιακοῖς, καὶ ἄλλοις
τισίν. ἡμεῖς δὲ ἴδωμεν τίσι χρόνοις Ἑβραίων τε καὶ Ῥωμαίων συμφω-
νοῦσιν αἱ Ὀλυμπιάδες. καὶ γὰρ ὡς δοκεῖ Διονυσίῳ τῷ Ἁλικαρνασεῖ τῶν
τῆς Ῥώμης ἐμπειροτάτῳ, ᾠκοδόμηται ἡ περίβλεπτος αὕτη πόλις ἀρ-
χομένης τῆς ἑβδόμης Ὀλυμπιάδος περὶ τὰς θερινὰς τροπάς. εἰ γὰρ ἔ-
τεσι δυσὶ καὶ τριάκοντα ἐπὶ τοῖς τετρακοσίοις μετὰ τὴν ἅλωσιν τῆς
Τροίας ἐκτίζετο ἡ Ῥώμη, ἡ δὲ πρώτη Ὀλυμπιὰς ἤρξατο ἔτει υζ΄. τῆς
ἁλώσεως, εἰ δὲ τῇ Ἱερᾷ Χρονογραφίᾳ παραβάλλοιμεν αὖ τὰς Ὀλυμπιά-
δας, οἶμαι τὴν πρώτην τούτων ἄρξασθαι ἔτει ὀγδόῳ τοῦ Βασιλέως Ἄ-
χαζ, τοῦ ἐκ τῆς φυλῆς Ἰούδα, τεκμηρίοις χρώμενος τούτοις. Κῦρος γὰρ ὁ
Περσῶν βασιλεὺς ἔλαβε τὰ σκῆπτρα ἔτει πρώτῳ τῆς πέμπτης Ὀλυμ-
πιάδος, ὡς ὁ Εὐσέβιος δείκνυσιν ἐν τῷ πρώτῳ περὶ Εὐαγγελικῆς
προπαρασκευῆς, κεφαλαίῳ τρίτῳ. πολυπλασιαζόμεναι δὲ αἱ νε΄. Ὀλυμ-
πιάδες γίνονται ἑπτὰ καὶ δέκα πρὸς τοῖς διακοσίοις, ὑφαιρουμένων δη-
λονότι τῶν τριῶν ἐτῶν τῆς πεντηκοστῆς πέμπτης Ὀλυμπιάδος. ἀπὸ δὲ τοῦ
ὀγδόου ἔτους τῆς Βασιλείας Ἄχαζ, ἕως τοῦ πρώτου βασιλείας Κύρου, πα-
ρεληλύθασιν ἐνιαυτοὶ ἑπτὰ καὶ δέκα πρὸς τοῖς διακοσίοις, ὡς εὑρεῖν ἐστι
συναριθμοῦσιν ἐκ τοῦ τετάρτου τῶν Βασιλειῶν, τὰ τῶν βασιλέων ἔτη. συ-
νάπτονται γὰρ ἀπὸ τοῦ ὀγδόου ἔτους τῆς Βασιλείας Ἄχαζ ἕως Σεδεκίου
τοῦ τελευταίου τῶν Βασιλέων ἐκ φυλῆς Ἰούδα τοῦ ἁλόντος ὑπὸ Να-
βουχοδονόσορ ἐνιαυτοὶ τετταρακονταὲξ ἐπὶ τοῖς ἑκατόν. ἀπὸ δὲ Σεδεκίου
ἕως Κύρου τοῦ βασιλέως Περσῶν ἐνιαυτοί εἰσιν ἑβδομήκοντα, ὡς μαρτυροῦ-
σιν Ἰώσηππος, Κλήμης ὁ Ἀλεξανδρεὺς, Ἰούλιος Ἀφρικανὸς, καὶ Εὐσέ-
βιος. ἐπέπαυτο δὲ ἡ πολυθρύλλητος αὕτη αἰχμαλωσία τῷ πρώτῳ ἔτει
τῆς βασιλείας Κύρου, ὡς ἐν τῷ τέλει τοῦ δευτέρου τῶν Παραλειπομένων
δηλοῦται, καὶ ἐν ἀρχῇ τοῦ πρώτου τοῦ Ἔσδρα, παρά τε Ἱερεμίᾳ κεφαλαίῳ
κέ. καὶ κθ΄. καὶ Ἡσαΐᾳ κεφαλαίῳ μέ. οἱ δὲ ἑβδομήκοντα ἐνιαυτοὶ
τοῖς ἑκκαίδεκα πρὸς τοῖς ἑκατὸν τεσσαράκοντα συμποσούμενοι γίνονται
ἑκκαίδεκα ἐπὶ τοῖς διακοσίοις. ὥστε φανερὸν ἐν τῷ ὀγδόῳ τῆς βασιλείας
Ἄχαζ, τὴν πρώτην ἄρξασθαι τῶν Ὀλυμπιάδων. καὶ ταῦτα μὲν εἴληπται
τὰ πλείω ἐκ τῶν Εὐσεβίου. καίπερ οὗτος ποτὲ μὲν εἰς Ἰωάθαν, ποτὲ δὲ
εἰς Ὀζίαν, ποτὲ δὲ εἰς Ἄχαζ ἀναφέρει τὴν πρώτην τῶν Ὀλυμπιάδων.
ὅπως οὖν ἂν ἀκριβῶς ἴδωμεν ὅ,τι ἂν ἕκαστος τῶν Φιλοσόφων ἐδόξα-
ζεν, ἄνωθεν ἀρξάμενοι λέγομεν, ὅτι πᾶσαι αἱ περὶ ἀρχῶν δόξαι, ἃς

καὶ

ΙΩΑΝΝΙΝΑ 2006

καὶ Πλάτων ἐν τῷ Θεαιτήτῳ, καὶ τῷ σοφιστῇ διέξεισι, καὶ Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ Φυσικῆς Ἀκροάσεως, καὶ περὶ γενέσεως καὶ φθορᾶς, καὶ τρίτῳ περὶ Οὐρανοῦ, καὶ πρώτῳ τῶν μετὰ τὰ Φυσικά. καὶ Πλούταρχος ἐν τῷ πρώτῳ περὶ τῶν ἀρεσκόντων τοῖς Φιλοσόφοις, καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς, καὶ Εὐσέβιος, καὶ Θεοδώρητος ἀπαριθμοῦσιν, εἰς ταύτην τὴν διαίρεσιν ἀνελλειπῶς ἀνάγονται. οἱ μὲν γὰρ οὐδεμίαν ἀρχὴν τιθέασιν, ἀλλ' ἓν ἀκίνητον εἶναι τὸ πᾶν ἀποφαίνονται. ὅσοι δὲ ποιοῦσιν ἀρχὰς, ἢ μίαν, ἢ πλείους πρεσβεύουσι, καὶ μίαν μὲν ἢ πεπερασμένην τῷ μεγέθει, ἢ ἄπειρον, καὶ ἢ ἓν τῶν τεττάρων στοιχείων, ἢ πρότερόν τι τούτων, καὶ ἐπαμφοτερίζον, πλείους δὲ ἢ πεπερασμένας τῷ πλήθει, ἢ ἀπείρους, καὶ ἢ πεπερασμένας, ἢ δύω, ἢ τρεῖς, ἢ τέτταρας, ἢ δέκα, ἢ ἄλλον τινὰ ἀριθμὸν, εἰ δὲ ἀπείρους, ἢ ὁμοφυεῖς καὶ ὁμογενεῖς, ἢ διαφερούσας τῷ εἴδει. πᾶς τις οὖν τῶν πάλαι Φιλοσόφων ἕν τι μέρος τῆς ἐκτεθείσης διαιρέσεως ἐδογμάτιζε. διὸ τῇ διανομῇ ταύτῃ παρεμφαίνοντες, ἐκθοῦμεν τὰς περὶ ἀρχῶν δόξας.

Πρῶτον μὲν οὖν οἱ ἓν ποιοῦντες τὸ πᾶν, καὶ ἀκίνητον πᾶσαν ἐξ ἀνάγκης ἀνεῖλον φυσικὴν ἀρχήν. οὐδὲν γὰρ αὐτὸ ἑαυτοῦ ἀρχὴ, ἀλλ' ἑτέρου τινὸς, πρὸς δὲ, πῶς ἀναιρουμένης τῆς κινήσεως, ἧς ἐστὶν ἡ φύσις ἀρχὴ, οὐ συναναιρεῖται πᾶσα ἀρχὴ φυσική, ὥστε εἰ τὸ πᾶν ἓν καὶ ἀκίνητον, ἀναγκαίως οὐκ ἔσται φυσικὴ ἀρχή. τρεῖς δὲ τῶν πάλαι Φιλοσόφων τὸ τοιοῦτον ἐθεσπίσαντο δόγμα, Ξενοφάνης, Παρμενίδης, καὶ Μέλισσος, ἀλλήλοις σμικρὰ διαφερόμενοι. ὧν ὁ μὲν Ξενοφάνης ὁ Κολοφώνιος περὶ τὴν ξ'. ἤκμασεν Ὀλυμπιάδα, καθηγητὴς γενόμενος Παρμενίδου, μαθητὴς δὲ εἴτε Ἀρχελάου, εἴτε Βότωνος τοῦ Ἀθηναίου, ἐνόμιζε δὲ τὸ ὂν ἀΐδιον, ἄπειρον, ἕν, πάντως ἑαυτῷ ὅμοιον, καὶ ἀκίνητον. ἀΐδιον μὲν ὡς ἀγέννητον, οὔτε γὰρ ἐκ τοῦ μηδενὸς δυνατόν ἐστι γενέσθαι τὸ ὂν, οὔτε ἐκ προϋπάρχοντός τινος, τοῦτο γὰρ εἴτε ὅμοιον εἴη, εἴτε ἀνόμοιον, ἀδύνατόν ἐστι προϋπάρξαι, καὶ γὰρ οὐχ ὅμοιον, ὅτι τὸ αὐτὸ ἂν εἴη καὶ πρότερον, οὔτε ἀνόμοιον, τοῦ γὰρ ὄντος τὸ μηδὲν ἐστὶν ἀνόμοιον, ἐκ τοῦ μηδενὸς δὲ ἀδύνατόν ἐστι γενέσθαι τὸ ὂν, ὡς ἐλέγετο. ἐκ δὲ τοῦ ἀϊδίου συνεπέραινε τὸ ἄπειρον εἶναι τὸ ὂν ὁ Ξενοφάνης. τὸ γὰρ ἀΐδιον οὔτε ἀρχὴν, οὔτε τέλος ἔχει, τὸ δὲ ἀρχῆς ἅμα καὶ τέλους ἀμοιροῦν, ἄπειρόν ἐστιν, εἰ δὲ ἄπειρον, ἄρα καὶ ἕν, τὰ γὰρ ἀλλήλοις περιεχόμενα, ἢ περατούμενα ἀνατρέπουσι τὴν ἀπειρίαν, εἰ δὲ ἓν καὶ πάντη ὅμοιον, ἡ γὰρ ἀνομοιότης συνεισάγει τὸ πλῆθος, παρομαρτεῖ δὲ τοῖς ἰδιώμασι τούτοις καὶ τὸ ἀκίνητον, τὸ γὰρ ἁπλοῦν καὶ ἑαυτῷ ὁμοιότατον, οὐκ αὐτὸ ἑαυτὸ κινήσεται, ἀλλ' οὐδὲ ὑπ' ἄλλου, ὡς ἓν ὂν, καὶ μηδὲν ἔχον πρὸ ἑαυτοῦ, ἐξ οὗ κινηθήσεται, πῶς δὲ κινητὸν εἴη τὸ πάντῃ μὲν τόπον ἐπέχον ὡς ἀ-

πειρον, τούτοις δὲ ἑπομένως ἄπονόν τε καὶ ἄλυπον, καὶ ἀμετάβλητον ἐλέγετο ὄν, ὡς ὁ Ἀριστοτέλης δῆλον ποιεῖ ἐν τῷ περὶ Ξενοφάνους, Ζήνωνος, καὶ Γοργίου βιβλίῳ. διαφέρει δὲ τοῦ Ἀριστοτέλους ὁ Θεόφραστος καθάπερ λέγεται παρὰ Σιμπλικίῳ πρώτῳ Φυσικῶν, μορίῳ ἕκτῳ λέγων, τὸν Ξενοφάνη τὸ ὄν, καὶ ἕν, οὔτε ἄπειρον ποιῆσαι, οὔτε πεπερασμένον. ὁ δὲ Ἀφροδισιεὺς Ἀλέξανδρος, ὡς ὁ αὐτὸς μαρτυρεῖ Σιμπλίκιος, Ξενοφάνη παρήγαγεν ἓν ποιοῦντα τὸ ὄν, σφαιρικόν τε καὶ πεπερασμένον. ἀλλὰ τούτων πάντων ἀπῳδά φησιν ὁ Λαέρτιος ἐν τῷ Ξενοφάνους βίῳ, καὶ Κικέρων ἐν τῷ δευτέρῳ τῶν Ἀκαδημαϊκῶν ζητημάτων, ὧν ὁ μὲν τέτταράς φησι τὸν Ξενοφάνην ἀρχὰς ποιῆσαι τῶν ὄντων, καὶ Κόσμους ἀναριθμήτους, ὁ δὲ καὶ τὴν Σελήνην οἰκεῖσθαι κατ' ἐκεῖνον μαρτύρεται, διῆγε δὲ ἐν τοῖς ζῶσιν ὑπὲρ τὰ ἑκατὸν ἔτη, ἔπη τε πολλὰ κατέχεεν Ἡσιόδου, καὶ Ὁμήρου, Ξενοφάνους μαθητὴς ἦν ὁ Παρμενίδης, Δημοκρίτου πρωτεύων τῷ χρόνῳ. καὶ γὰρ ὡς Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν τῷ πρώτῳ τῶν στρωμάτων, καὶ Εὐσέβιος δεκάτῳ Εὐαγγελικῆς προπαρασκευῆς, κεφαλαίῳ τρίτῳ, καὶ Ἀριστοτέλης α'. τῶν μετὰ τὰ Φυσικά, Παρμενίδου γέγονεν Ἀκροατὴς ὁ Ζήνων, Ζήνωνος δὲ ὁ Λεύκιππος, Λευκίππου δὲ ὁ Δημόκριτος, ἤκουσε δὲ καὶ Ἀναξιμάνδρου, ὡς παρὰ τῷ Διογένει μαρτυρεῖ Θεόφραστος, ἤνθει δὲ περὶ τὴν ο. Ὀλυμπιάδα. ἀσυμφώνως γὰρ εἴρηται τῷ Λαερτίῳ βιῶναι Παρμενίδην ἐνενηκοστῆς οὔσης Ὀλυμπιάδος, εἰ μὴ καὶ τοῦτο ὡς ἕτερ' ἄττα τῶν τυπογράφων, ἀλλ' οὐ τοῦ συγγραφέως ἁμάρτημα. ἐδόξαζε δὲ κατὰ μὲν τὴν κοινὴν ὑπόληψιν τῶν πολλῶν πλῆθος εἶναι τῶν ὄντων, καὶ γίγνεσθαι ἐκ γῆς μὲν ὡς ὕλης, ἐκ πυρὸς δὲ ὡς αἰτίου ποιητικοῦ, τῇ δὲ ἀληθείᾳ ἓν εἶναι τὸ ὄν, τῷ λόγῳ τούτῳ διισχυριζόμενος, τὸ παρὰ τὸ ὂν μὴ ὄν ἐστιν. εἰ γὰρ ὂν οὐ παρὰ τὸ ὄν, τὸ δὲ μὴ ὂν οὐδέν ἐστιν, ἄρα τὸ ὂν ἕν ἐστιν. εἰ γὰρ τὰ ὄντα πολλά ἐστιν, ἔσται ἀλλήλων διενηνοχότα. ἢ τοίνυν ἀλλήλοις διοίσεται κατὰ τὸ εἶναι, ἢ κατὰ τὸ μὴ εἶναι. ἀλλὰ μὴν οὐκ ἂν διενέγκοι τὰ πολλὰ τῷ λόγῳ τοῦ εἶναι, ταύτῃ γὰρ πάνθ' ὅμοιά ἐστι, καὶ ἑνίζομενα τῇ ὁμοιότητι, ἀλλ' οὐδὲ τῷ λόγῳ τοῦ μὴ εἶναι, ἐκ τούτου γὰρ οὐδεμία πρόσεστι τοῖς οὖσι διαφορά. εἰ δὲ τὰ ὄντα ἀλλήλων οὐ διαφέρουσιν, ἄρα ἕν εἰσιν. οὕτως οὖν ἐπεχείρει Παρμενίδης, ὡς παρὰ Σιμπλικίῳ ἐν τῷ πρώτῳ τῶν Φυσικῶν μορίῳ κε'. διερμηνεύεται τῷ Πορφυρίῳ. ὁ δὲ Μέλισσος ὁ τοῦ Παρμενίδου ἀκροατής, τὸ ὂν ᾤετο ἀγένητον εἶναι, καὶ ἄπειρον, καὶ ἕν, καὶ ἀκίνητον, τὰ μὲν ἄλλα ξυνιστῶν τοῖς τοῦ Ξενοφάνους λόγοις, ἄπειρον δὲ ἀπεδείκνυτο ἐκ τούτου μάλιστα, ὅτι καθάπερ τὰ γενητά, καὶ φθαρτὰ ἀρχὴν ἔχει καὶ τελευτήν, οὕτω τὰ ἀγένητα καὶ τὰ ἄφθαρτα οὔτε ἀρχὴν ἔχει, οὔτε τελευτήν, εἰ γὰρ τελευτὴν ἔχοι αὖ τὸ ὄν, εἰς τὸ μὴ ὂν καταστήσειεν τὸ

ἀποπώ-

ἀτοπώτατον, ὁμοίως οὐδὲ ἀρχὴν ἔχει, ἵνα μὴ γένηται ἐκ τοῦ μὴ ὄντος, τέλους ἅμα καὶ ἀρχῆς ἀμοιροῦν τὸ ὄν, ἄπειρόν ἐστιν. οὗτοι μὲν οὖν οἱ τρεῖς ἓν ἐποίουν τὸ ὄν, ἀλλ' οὔτε ἀρχὴν τινὸς διὰ τὴν μονότητα, οὔτε φυσικὴν διὰ τὴν ἀκινησίαν. εἰσὶ δέ τινες ἄλλοι, οἳ μίαν ἀρχὴν ἐτίθεσαν πάντων, ἀλλὰ φυσικοῖς ἐρειδόμενοι λόγοις. ὧν πρῶτος ἐστὶ Θαλῆς ὁ Μιλήσιος, βιώσας ἔτεσιν ἐνενήκοντα ἀπὸ τῆς λε΄. Ὀλυμπιάδος, ἕως τῆς νη΄. ὡς παρὰ τῷ Διογένει Λαερτίῳ μαρτυροῦσιν Ἀπολλόδωρος καὶ Σωκράτης, καὶ λέγεται τῷ Κυρίλλῳ ἐν τῷ κατὰ Ἰουλιανοῦ βιβλίῳ πρώτῳ, ἤκμασε δὲ μάλιστα τῇ ν΄. Ὀλυμπιάδι τῶν ἑπτὰ σοφῶν ἐν Ἑλλάδι πρωτεύων, ὥς φησιν ὁ Εὐσέβιος δεκάτῳ περὶ προπαρασκευῆς εὐαγγελικῆς, κεφαλαίῳ τετάρτῳ, καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς πρώτῳ στρωμάτων, ἦν δὲ καὶ ἀστέρων θεατὴς ἐς τοσοῦτον ἄριστος, ὥστε πολλῷ πρότερον ἀναφανῆναι τοῖς Ἴωσι τὴν τοῦ Ἡλίου ἔκλειψιν, ἥτις ἐγένετο τῆς ἡμέρας ἄφνω τραπείσης εἰς νύκτα, Κυαξάρου τοῦ Μήδων βασιλέως, καὶ Ἀλυάττου τοῦ Λυδῶν συμβαλλόντων εἰς μάχην. οὐ μόνον δὲ τῶν ἐν Ἑλλάδι πάντων, ἀλλὰ καὶ τῶν ἁπανταχοῦ γῆς σοφῶν ὑπερήνεγκεν. ἦσαν δὲ πολλοὶ κατ' ἐκεῖνον τὸν χρόνον σοφίας ἐς ἄκρον ἀφικόμενοι, παρὰ μὲν Ἰουδαίοις Ἰεζεκιὴλ ἅμα καὶ Δανιὴλ οἱ Προφῆται, παρὰ Ἀθηναίοις ὁ νομοθέτης Σόλων ἐπὶ βασιλέως Ῥωμαίων Ταρκυνίου τοῦ Πρίσκου, ὥς φησι Γέλλιος βιβλίῳ ιζ΄. κεφαλαίῳ κα΄. παρὰ δὲ Σύροις Φερεκύδης ὁ Πυθαγόρου καθηγητής, παρὰ δὲ Κρησὶν Ἐπιμενίδης, ἐν οἷς ἦσαν οἱ ἑπτὰ σοφοί, χορηγοῦντος τοῦ Θάλητος τῇ τε ἄλλῃ σοφίᾳ, καὶ τῇ τῆς φύσεως γνώσει, ὡς Ἀριστοτέλης μαρτυρεῖ α΄. τῶν μετὰ τὰ Φυσικά. Οὗτος μὲν οὖν ἀρχὴν πάντων ἐνόμιζε τὸ ὕδωρ, ἤτοι τὸ ὑγρόν, λόγῳ τοιῷδε κινηθείς, καθάπερ φησὶ Πλούταρχος, ὅτι ἕκαστον ἐκ τούτου γίνεται, ἐξ οὗ καὶ τρέφεται, ἀλλὰ μὴν πάντα τρέφεται τῷ ὑγρῷ, καὶ αὐτὸ δὴ τὸ πῦρ ἐς τοσοῦτον διαμένει, ἕως ἂν νέμηται ὑγρόντι, ἄρα τὸ ὕδωρ πάντων ἐστὶν ἀρχή. τάχα δὲ καὶ οἱ πάλαι σοφοί, οἷον Ὀρφεὺς, Ὅμηρος, καὶ Ἡσίοδος, ὁτὲ μὲν Ὠκεανὸν, ὁτὲ δὲ Θέτιν τοκεῖς ὀνομάζοντες, τὸ ὕδωρ ὑπενόουν, καὶ ἐπὶ τῷ τιμιωτάτῳ τῶν στοιχείων εἰσήγαγον ὀμνύοντας τοὺς θεούς. καὶ γὰρ ὕδωρ ἐστὶν ἡ Στύξ, ὡς ἡρμήνευται πολλοῖς. Ἀναξιμένης δὲ ὁ τοῦ Ἀναξιμάνδρου ἀκροατής, τῶν τοῦ Θάλητος δογμάτων ἐπιμελητὴς ὤν, σμικρὰ διενήνοχεν ἐκείνου, καὶ τὸν ἀέρα πάντων ἀρχὴν ἔλεγεν, ὡς ὁ Ἀριστοτέλης φησὶν α΄ τῶν μετὰ τὰ Φυσικά. ἐκινεῖτο δὲ τοῖς λόγοις τούτοις. ὅτι ὁ ἀὴρ εὐχερῶς πάσης ἐστὶ μορφῆς δεκτικός, εὐκίνητος ὑπάρχων, καὶ μηδεμίαν ἔχων ἐν αὑτῷ ποιότητα πάγιον, καὶ ἀμετάβλητον, σημεῖον δὲ καὶ τὸ τῇ ἀναπνοῇ διασώζεσθαι τὸν βίον. ἔτι δὲ καὶ εἰς τροφὴν ἱκανός, πυκνωθεὶς καὶ μεταβεβληκὼς εἰς ὕδωρ. συμφωνεῖ δὲ τούτῳ καὶ ὁ Ἀπολλωνιάτης



ΙΩΑΝΝΙΝΑ 2006

Διογένης, ὃς Ἀναξιμένους καὶ Ἀναξαγόρου γενόμενος Ἀκροατὴς, λόγου τε δεινότητι καὶ πείρᾳ πραγμάτων ἐν ὀλίγοις ἐπῃνεῖτο, καὶ ταῦτα ἐθέσπιζε, πάντων ἀρχὴν εἶναι τὸν ἀέρα, ἐξ οὗ πυκνουμένου τε, καὶ ἀραιουμένου, ἀπείρους γίνεσθαι Κόσμους, εἶναι δὲ καὶ κενὸν ἄπειρον, καὶ τὴν γῆν σφαιροειδῆ οὖσαν, ἐν μέσῳ τοῦ παντὸς ἐρηρεῖσθαι, βάρει τῷ οἰκείῳ πελαντουμένην.

Ἡράκλειτος δὲ ὁ Ἐφέσιος ἐπὶ τῆς ξδʹ. Ὀλυμπιάδος ἦν ἐν τοῖς ζῶσι, βασιλεύοντος τῆς Περσίδος Δαρείου τοῦ Ὑστάσπου, ὃς δυσὶν ἐπιστολαῖς, ἃς ἔξεστιν ἀναγνῶναι παρὰ Λαερτίῳ, πρὸς ἑαυτὸν μετεπέμπετο τὸν Ἡράκλειτον μεγάλων ὑποσχέσει πραγμάτων. ἀλλ' ὁ μὲν ψυχῆς τε μεγέθει, καὶ σοφίας ἔρωτι, καὶ ὅλως ὢν ἐν Φιλοσοφίᾳ, οὐδενὶ λόγῳ ἐτίθει τὰς τοῦ Δαρείου ὑποσχέσεις, ἀλλ' εἵλετο ἐν Ἐφέσῳ διάγειν, καὶ τῶν πραγμάτων ἄρχειν τῇ τοῦ νοὸς θεωρίᾳ οὐδενὶ πράγματι κωλυομένῃ, ἀλλὰ διακεχύσῃ τὸν ἅπαντα Κόσμον. οὗτος οὖν μετὰ τοῦ Ποντίου Ἱππάσου ἐκ τοῦ πυρὸς ἐγέννησε τὰ πάντα, μανουμένου καὶ πυκνουμένου, ὥστε ὡς ἐν ῥοῇ εἶναι, καὶ μηδέποτε στάσιμα μένειν, ἀλλὰ ποταμοῦ δίκην παρέρχεσθαι καὶ κινεῖσθαι, καί τοι δοκεῖ κινοῦντα νομίζειν τὸ νεῖκος καὶ τὴν φιλίαν. ἐποίει δὲ οὐκ ἀμέσως ἐκ τοῦ πυρὸς τὰ ὄντα, ἀλλ' ὑγραινομένου τοῦ πυρὸς, ἔλεγε γίνεσθαι τὸν ἀέρα πυκνωθέντος, ἐκ δὲ τοῦ ἀέρος αὖθις τὸ ὕδωρ, μείζονος πυκνώσεως γινομένης, πάλιν ἐκ τοῦ ὕδατος τὴν γῆν, καὶ ἀνάπαλιν ταῦτα ἀνέλυεν εἰς τὰ ἐξ ὧν ἐγίνετο διὰ τῆς ἀραιώσεως. ἀλλ' ὅμως εἰ καὶ ἐξ ἀλλήλων ἐποίει τὰ στοιχεῖα, τὸ πῦρ πρῶτον ἔλεγε πολλῶν ἕνεκα, ὅτι εὐκινητότατόν ἐστι, καὶ λεπτομερέστατον, πάντῃ τε διῆκον, καὶ δραστικὸν, πᾶν ὁτιοῦν μεταβάλλειν τε ἱκανὸν, καὶ αὔξειν, καὶ διασώζειν. ἔγραψε δὲ καὶ περὶ Φύσεως βιβλίον βραχέως τε καὶ ἀσαφῶς λίαν, ὥστε σκοτεινὸν ἐπονομασθῆναι. φασὶ γὰρ τὸν Σωκράτην ἀνεγνωκότα τὸ σύγγραμμα εἰπεῖν, ἃ μὲν ἔγνω πάνυ δοκεῖν ἐπαινετὰ, ἃ δὲ οὐκ ἔγνω τοῖς λοιποῖς οἴεσθαι παραπλήσια. ὁ δὲ Ἀριστοτέλης ἐν τοῖς ῥητορικοῖς βιβλίοις, οὐ τοῦ συγγράψαντος εἶναι νομίζει τὴν ἀσάφειαν, ἀλλὰ τοῦ γράψαντος, μὴ διαστίξαντος ὀρθῶς τὰ λεγόμενα. πάντων οὖν τῶν στοιχείων ἐν ἀρχῆς λόγῳ τιθεμένων, ὡς ἔοικε, τὴν γῆν μηδεὶς αἴτιον ἐποίει τῆς γενέσεως, εἰ μὴ τυχὸν ὁ Ἡσίοδος χάος εἰπὼν ταύτην. καὶ μὴν οὐδὲν αὖ ἡ γῆ ἐποίει μόνη, παχυτάτη τε οὖσα καὶ ἀκίνητος. ὅσοι δὲ μίαν εἰσῆγον ἀρχὴν, ταύτην οὐ μόνον ὡς ὕλην ἐτίθεσαν, ἀλλὰ καὶ ὡς ποιητικὴν αἰτίαν, τῇ μὲν δρῶσαν, τῇ δὲ πάσχουσαν, καὶ γεννῶσαν τ' ἄλλα πάντα. ἄλλοι δέ τινες μίαν μὲν ποιοῦσιν ἀρχὴν, οὐ μήν γε ἐκ τῶν τεσσάρων στοιχείων, ἀλλὰ μέσην τινὰ φύσιν, μεταξὺ πυρὸς καὶ ἀέρος, τούτου μανωτέραν, ἐκείνου δὲ πυκνοτέραν, καὶ προτέραν ἀμφοῖν. ταύ-

τὴν τὴν δόξαν Νικόλαος ὁ Δαμασκηνὸς εἰς Ἀναξιμένην ἀνατίθησι, καί τοι ψευδῶς. ὁ δὲ Φιλόπονος Ἰωάννης τρίτῳ τῶν Φυσικῶν, καὶ δευτέρῳ περὶ γενέσεως, καὶ φθορᾶς, εἰς Ἀναξίμανδρον ἀναφέρει τὸν Μιλήσιον, ὅς τις καθάπερ μαρτυρεῖ Λαέρτιος ἓν ἐτίθετο στοιχεῖον πρότερον τῶν καλουμένων, πυρὸς, ἀέρος, ὕδατος, καὶ γῆς. πρῶτος δὲ καὶ Γνώμονα ἐξεῦρε, καὶ ἐν Λακεδαίμονι ἐπήξατο, εἰς διαμέτρησιν τῶν ἡλιακῶν περιόδων. ἐπαινεῖ δὲ τοῦτον Ἀριστοτέλης πρώτῳ Φυσικῶν, κεφαλ. δ'. λέγων, ὅτι πιθανώτερος ἐστὶ λόγος ὁ ὑποτιθεὶς τὴν ἀρχὴν προτέραν τε, καὶ διάφορον τῶν τεττάρων στοιχείων. καὶ γὰρ δοκεῖ δέ φησι τὸ μεταξὺ μᾶλλον. πῦρ γὰρ δέ φησι, καὶ γῆ, καὶ ἀὴρ, καὶ ὕδωρ μετ' ἐναντιοτήτων συμπεπλεγμένα ἐστὶ, διὸ οὐκ ἀλόγως ποιοῦσιν οἱ τὸ ὑποκείμενον ἕτερον τούτων ποιοῦντες, ὡς γυμνὸν ὑπάρχον τῶν στοιχειωδῶν διαφορῶν. καὶ ὅλως οἱ τοιοῦτοι τὴν ἀνείδεον ὕλην αἰνίττονται. τὴν γὰρ κοινὴν καὶ μέσην φύσιν ἄποιον ἐτίθεσαν ὡς ἔοικε, καὶ δυναμένην εἰς ὁτιοῦν μεταβάλλειν. καὶ οὗτοι μὲν ἓν ἔλεγον τὸ στοιχεῖον, καὶ τὴν ἀρχὴν τῶν ὄντων, ἄλλοι δὲ πολλὰ μὲν, ἀλλὰ πεπερασμένα. Ἐν τούτοις δὲ Πυθαγόρας ἐστὶ καὶ Παρμενίδης, καὶ Ἐμπεδοκλῆς. ὧν ὁ μὲν Παρμενίδης τὸ δοκοῦν ἔλεγε στοιχεῖα, πῦρ καὶ γῆν, ἤτοι τὸ φῶς καὶ τὸ σκότος, ἤτοι τὸ θερμὸν καὶ τὸ ψυχρόν. Ἐμπεδοκλῆς δὲ τὰ τέτταρα στοιχεῖα, οἷς παρετίθει ποιοῦντα τὴν φιλίαν καὶ τὸ νεῖκος. Ἀριστοτέλης δὲ ἐν τῷ πρώτῳ τῶν μετὰ τὰ Φυσικά φησιν, οὐχ ὡς τέσσαρσιν, ἀλλὰ δυσὶ χρῆσθαι τοῖς στοιχείοις Ἐμπεδοκλέα, λαμβάνοντα αὐθ' ἑνὸς τὰ τρία, ἀέρα, ὕδωρ, καὶ γῆν, ὡς κοινὴν ἔχοντα φύσιν. τοῦτο δὲ καὶ τοῖς ἔπεσιν αὐτοῦ δῆλον γίνεται. ἦν δὲ Ἐμπεδοκλῆς Ξενοκράτους ἀκροατὴς, καὶ Παρμενίδου ἐφάμιλλος, τὴν αἵρεσιν Πυθαγόρειος, σύγχρονος Ζήνωνι τῷ Ἐλεάτῃ, καὶ Σωκράτει τῶν Ἀθηναίων, Γοργίου τοῦ πάνυ ἐν σοφισταῖς, καὶ ῥήτορσι διδάσκαλος. γέγραφε δὲ τὴν Ξέρξου ἔφοδον εἰς τὴν Ἑλλάδα γενομένην ἐπὶ τῆς οέ. Ὀλυμπιάδος, ὥς φησι Λαέρτιος, ἤκμασε δὲ τῇ πά. ὡς μαρτυρεῖ Εὐσέβιος. οἱ δὲ Πυθαγόρειοι δεκαδικῷ ἀριθμῷ τὰς ἀρχὰς ὥριζον, ἐκινοῦντο δὲ τῷ λόγῳ τούτῳ, Ὅτι πάντας ἀνθρώπους ἑώρων ἕως τῶν δέκα ἀριθμοῦντας μὴ περαιτέρω βαίνειν, ἀλλ' ὡς ἐν τῷ τελειοτάτῳ γενομένους πάλιν ἀνακάμπτειν εἰς τὸ ἕν, τῷ δεκαδικῷ ἀριθμῷ τὰς ἀρχὰς παρελάμβανον. ἐπειδὴ δὲ τὰ δέκα ἐν τοῖς τέσσαρσι περιέχεται. τὸ γὰρ α' β' γ' δ' σύνημμα δέκα γίνεται, τὴν τετρακτὺν ὁσίαν ἐκάλουν, καὶ ἐπὶ ταύτης ὤμνυον, καὶ τὴν ψυχὴν ἔλεγον τετράδα, μονάδα μὲν ἔχουσαν τὸν νοῦν, δυάδα δὲ τὴν ἐπιστήμην, καὶ τριάδα τὴν δόξαν, καὶ τετράδα τὴν αἴσθησιν, ὡς ὁ Πλούταρχος ἐκτίθησιν ἐν τῷ πρώτῳ περὶ τῶν ἀρεσκόντων τοῖς Φιλοσόφοις κεφαλαίῳ τρίτῳ πε-



ΙΩΑΝΝΙΝΑ 2006